# Βυζαντινή Αγιολογία με έμφαση στον βίο του Λέοντος Κατάνης

**Διδάσκων: Καθηγητής Αλέξανδρος Αλεξάκης**

**4η ενότητα: «Διάλεξη 4»**

# Κύρια σημεία του μαθήματος

Στην τέταρτη θεματική ενότητα του μαθήματος γίνεται μετάφραση και σχολιασμός του Θεοδώρητος Κύρου. Φιλόθεος Ιστορία (Μέρος Α). Ιάκωβος (Παράγραφος 1-8).

## **Λέξεις κλειδιά του μαθήματος**

Θεοδώρητος Κύρου, Φιλόθεος Ιστορία, Ιάκωβος.

# Ακολουθεί το υπό εξέταση κείμενο

# Α'. ΙΑΚΩΒΟΣ

**1.** Μωϋσῆς, ὁ θεῖος νομοθέτης, ὁ τῆς θαλάττης τὸν πυθμένα γυμνώσας[a] καὶ τὴν ἄνικμον ἔρημον ὕδασι κατακλύσας[b] καὶ τὰ ἄλλα πάντα θαυματουργήσας, τῶν πάλαι γεγενημένων ἁγίων τὴν πολιτείαν συνέγραψεν, οὐ τῇ σοφίᾳ B χρησάμενος, ἣν παρὰ τῶν Αἰγυπτίων παρέλαβεν, ἀλλὰ τῆς ἄνωθεν χάριτος τὴν αἴγλην δεξάμενος. Πόθεν γὰρ ἂν ἔμαθεν ἄλλοθεν τοῦ Ἄβελ[c] τὴν ἀρετήν, καὶ τοῦ Ἐνὼχ[d] τὸ φιλόθεον, καὶ τοῦ Νῶε[e] τὸ δίκαιον, καὶ τὴν εὐσεβῆ τοῦ Μελχισεδὲκ[f] ἱερωσύνην, καὶ τοῦ Ἀβραὰμ[g] τὴν κλῆσιν, τὴν πίστιν, τὴν καρτερίαν, τὴν ἐπιμελῆ φιλοξενίαν[h], τὴν πολυθρύλητον τοῦ παιδὸς ἱερουργίαν[i], καὶ τὸν τῶν ἄλλων κατορθωμάτων κατάλογον καί, συντόμως εἰπεῖν, τῶν θεσπεσίων ἐκείνων ἀνδρῶν τοὺς ἀγῶνας, τὰς νίκας, τὰς ἀναρρήσεις, εἰ μὴ τοῦ νοεροῦ καὶ θείου πνεύματος τὰς

**1** a. Cf. Ex. 14, 21   b. Cf. Ex. 17, 5-7   c. Cf. Gen. 4, 1-5   d. Cf. Gen. 4, 17-18   e. Cf. Gen. 6-9   f. Cf. Gen. 14, 18-20   g. Cf. Gen. 12, 1-3   h. Cf. Gen. 18, 1-18   i. Cf. Gen. 22

---

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

**Tit.** α' ἰάκωβος PGABS : ἰάκωβος XD ἰάκωβος α' VCQ (α' i.m. Q) περὶ ἰακώβου λόγος ᾱ W α' περὶ ἰακώβου τοῦ μοναχοῦ E περὶ ἰακώβου μοναχοῦ ᾱ T.

**1,** 1 θεῖος+ὁ PCvqS ‖ θαλάσσης BT ‖ 2 ἄνικμον e : ἄνυδρον PCvDqABS ‖ ὕδατι V ‖ 3 τἄλλα QGe ‖ 5 παρὰ τῶν] παρ' DWABT ‖ παρέλαβεν VDq (vix l.p. i.m. μεμάθηκεν G) ABe (supra παρέλαβεν add. μεμάθηκε T) : μεμάθηκεν P (i.m. παρέλαβεν P[1]) CXS ‖ 6 ἂν om. D ‖ 7 ἄλλοθεν ἔμαθεν ∾ C ‖ 8 φιλόθεον] φιλάρετον QG ‖ καὶ[1]

ἀκτῖνας ἐδέξατο ; Ταύτης ἐπὶ τοῦ παρόντος κἀμοὶ δεῖ τῆς συνεργίας, τῶν ὀλίγον πρὸ ἡμῶν καὶ ἐφ' ἡμῶν διαλαμψάντων ἁγίων τὸν βίον πειρωμένῳ συγγράψαι, καὶ οἷόν C τινα νομοθεσίαν τοῖς ζηλοῦν ἐθέλουσι βουλομένῳ προθεῖναι · τὰς τούτων τοίνυν προσευχὰς ἐπικλητέον καὶ τῆς διηγήσεως ἀρκτέον.

**2.** Νίσιβίς ἐστι πόλις ἐν μεθορίῳ τῆς Ῥωμαίων καὶ Περσῶν βασιλείας, ἣ πάλαι Ῥωμαίοις ἐδασμοφόρει καὶ ὑπὸ τὴν τούτων ἡγεμονίαν ἐτέλει · ἐκ ταύτης ὁρμώμενος ὁ μέγας Ἰάκωβος τὸν ἐρημικὸν καὶ ἡσύχιον ἠσπάσατο βίον καί, τὰς τῶν ὑψηλοτάτων ὀρῶν καταλαβὼν κορυφάς, ἐν ἐκείναις διῆγεν, ἐν ἔαρι μὲν καὶ θέρει καὶ μετοπώρῳ ταῖς λόχμαις χρώμενος καὶ ὄροφον ἔχων τὸν οὐρανόν · τὸν δὲ τοῦ χειμῶνος καιρὸν ἄντρον αὐτὸν ὑπεδέχετο, σκέπην βραχεῖαν παρέχον. Τροφὴν δὲ εἶχεν, οὐ τὴν μετὰ πόνου σπειρομένην καὶ φυομένην, ἀλλὰ τὴν αὐτομάτως βλαστάνουσαν · τῶν γὰρ ἀγρίων δένδρων τοὺς αὐτοφυεῖς συλλέγων D καρποὺς καὶ τῶν βοτανῶν τὰς ἐδωδίμους καὶ λαχανώδεις, ἐκ τούτων ἐδίδου τῷ σώματι τὰ εἰς τὸ ζῆν ἀποχρῶντα, τὴν τοῦ πυρὸς παραιτούμενος χρείαν. Περιττὴ δὲ ἦν αὐτῷ καὶ τῶν ἐρίων ἡ χρῆσις · αἱ γὰρ τραχύταται τῶν αἰγῶν

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

15 δεῖ] δοκεῖ e ‖ 16 συνεργείας PCe ‖ ὀλίγον CQGABES : ὀλίγῳ PXD ὀλίγων VWT ‖ 16-17 διαλαμψάντων] δὲ λαμψάντων PCXBeS ‖ 17 πειρωμένῳ τὸν βίον ∾ A ‖ πειρομένῳ VQG πειρομένως W ‖ 18 προθεῖναι VDqA : προτεῖναι PCXS προθῆναι B προσθῆναι e.

**2,** 1 νίσηβίς CD ‖ τῆς] τῶν e ‖ 2 πάλαι + μὲν PCXABS ‖ 3 διετέλει P ‖ 4 ἠσπάζετο X ‖ 5 τῶν om. QG ‖ 7-8 τῷ δὲ... καίρῳ VQG ‖ 8-9 βραχεῖαν σκέπην ∾ PCvGS ‖ 9 παρέχων D ‖ 10 σπειρομένην καὶ φυομένην WAS : φυομένην PCX φυομένην καὶ σπειρομένην VDQGBe ‖ 14 ἦν om. e ‖ 15 ἡ τῶν ἐρίων ∾ W ‖ τραχύτατοι S

τρίχες τὰ ἐκείνων ἐπλήρουν · ἐκ τούτων αὐτῷ καὶ χιτὼν ἐγίνετο, καὶ τὸ ἁπλοῦν περιβόλαιον.

**3.** Οὕτω τὸ σῶμα κατατρύχων, τὴν πνευματικὴν τροφὴν διηνεκῶς προσέφερε τῇ ψυχῇ καί, τὸ τῆς διανοίας ὀπτικὸν ἐκκαθαίρων καὶ κάτοπτρον διαφανὲς τοῦ θείου κατασκευάζων πνεύματος, « ἀνακεκαλυμμένῳ προσώπῳ, κατὰ τὸν θεῖον ἀπόστολον, τὴν δόξαν κυρίου κατοπτριζόμενος, τὴν αὐτὴν
1296A εἰκόνα μετεμορφοῦτο ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος[a] ». Ἐντεῦθεν ἡ πρὸς τὸν θεὸν αὐτῷ παρρησία καθ' ἑκάστην ηὔξετο τὴν ἡμέραν καί, αἰτῶν ἃ τὸν θεὸν αἰτεῖν ἔδει, παραυτίκα ἐλάμβανεν. Ἐντεῦθεν καὶ τὰ ἐσόμενα προφητικῶς προεώρα, καὶ δύναμιν εἰς θαυματουργίαν

**3** a. II Cor. 3, 18

---

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

17 ἐγένετο QS || ἁπλοῦν] ἀρκοῦν DWABE.
**3,** 1 κατατρύχων+καὶ PS || 1-2 διηνεκῶς τροφὴν ∾ D || 4-5 κατὰ — ἀπόστολον om. D || 5 αὐτὴν] αὐτοῦ C || 8 ηὐξάνετο D || 8-9 τὸν θεὸν WABS] θεὸν PCvQGe πρὸς τὸν θεὸν D || 9 ἔδει αἰτεῖν ∾ C || ἐντεῦθεν+δὲ T || 10 προεώρακε D

---

2. Ce type d'existence dans la nature sauvage, représente l'ascèse extrême dont on trouve des exemples en Syrie, dans les écrits conservés sous le nom de S. Éphrem ; cf. *MST* § 154 et 206 s. — L'expression τὸν ἐρημικὸν καὶ ἡσύχιον ... βίον est l'une des manières de désigner la vie monastique, d'après le lieu où elle se déroule, à l'écart des agglomérations (cf. ci-dessous, II,16,16 et la note) et dans le silence ; l'ἡσυχία qui, en II, 17,1, s'oppose aux πολιτικῶν θορύβων, à l'agitation des cités (cf. Festugière, dans *MO* IV/1, p. 6, n. 20), prendra avec le temps un sens de plus en plus intérieur pour désigner un ensemble de dispositions propices à la vie contemplative (et déjà en *H.Ph.*, VIII, 7, 7-8 ἡσυχίᾳ ... καὶ καθ' ἑαυτὸν ζῆν) ; cf. P. Adnès, art. « Hésychasme », dans *DS* 7/1 (1969), c. 382-399.
§ **3** 1. Cf. *H.Ph.*, XII, 2,6 : expression analogue ; τὴν πνευματικὴν τροφὴν désigne la lumière intérieure, comme dans *Hist. mon.*, XIII,39 (*MO* IV/1, p. 88). Ces comparaisons se rattachent au thème du

ἐκ τῆς τοῦ παναγίου πνεύματος ἐδέξατο χάριτος. Τούτων ὀλίγα διηγήσομαι καὶ τῆς ἀποστολικῆς αὐτοῦ λαμπηδόνος τοῖς ἀγνοοῦσι τὴν ἀκτῖνα γυμνώσω.

**4.** Ἤκμαζε κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἡ περὶ τὰ εἴδωλα τῶν ἀνθρώπων μανία καὶ τὰ μὲν ἄψυχα ξόανα τὸ θεῖον σέβας ἐσφετερίζετο, ἡ δὲ τοῦ θεοῦ θεραπεία ὑπὸ τῶν πλείστων κατημελεῖτο · εὐκαταφρόνητοι δὲ ἦσαν οἱ κοινωνεῖν μὲν ἐκείνοις οὐκ ἐθέλοντες τῆς μέθης, ἀκριβῆ δέ, ἅτε δὴ καθεστηκότες, τὴν τῶν ὄντων διάκρισιν ἔχοντες καὶ τὴν
B μὲν τῶν εἰδώλων γελῶντες ἀσθένειαν, τὸν τῶν ὅλων δὲ προσκυνοῦντες δημιουργόν. Κατ᾽ ἐκεῖνον τὸν καιρὸν τὴν Περσίδα κατέλαβε, τὰ φυτὰ τῆς εὐσεβείας ὀψόμενος καὶ τὴν προσήκουσαν αὐτοῖς θεραπείαν προσοίσων. Πηγὴν δὲ αὐτοῦ τινα διϊόντος, κόραι τινὲς πλυνοῖς ἐφεστῶσαι καὶ ἱμάτια τοῖς ποσὶν ἀπορρύπτουσαι, οὐδὲ τοῦ σχήματος τὸ καινοπρεπὲς κατῃδέσθησαν, ἀλλὰ τὴν αἰδῶ ῥίψασαι, ἀπηρυθριασμένῳ προσώπῳ καὶ ἀναιδέσιν ὀφθαλμοῖς τὸν θεῖον ἄνθρωπον ἐθεώρουν, οὔτε τὰς κεφαλὰς συγκαλύπτουσαι, οὔτε τὰ ἀνεζωσμένα χαλῶσαι ἱμάτια. Τοῦτο δυσχεράνας ὁ τοῦ θεοῦ ἄνθρωπος καὶ δεῖξαι τοῦ θεοῦ τὴν δύναμιν εἰς καιρὸν ἐθελήσας, ἵνα τῇ θαυματουργίᾳ τῆς ἀσεβείας ἐλευθερώσῃ, ἐπηράσατο μὲν τῇ πηγῇ, καὶ φροῦδον παραυτίκα
C τὸ ῥεῖθρον ἐγένετο · ἐπηράσατο δὲ ταῖς μείραξι, καὶ τὴν ἀναίσχυντον αὐτῶν νεότητα προώρῳ ἐκόλασε πολιᾷ · καὶ εἵπετο τῷ λόγῳ τὸ ἔργον, καὶ τὸ μέλαν τῶν τριχῶν

**PCv (= XV) Dq (= QGW) ABe (= ET)S**

11 ἁγίου WBS ‖ ἐδέχετο q ‖ τούτου D ‖ 13 γυμνώσω] δηλώσω XS.

**4,** 1 εἰδωλικὰ X ‖ 3 πλείστων] ἡδίστων e ‖ 4 μὲν] μετ᾽ D ‖ 5 ἐκείνοις — μέθης PVDqABE : ἐκείνης ... μέθης C οὐκ ἐθέλοντες ἐκείνοις τῆς μέθης XS οὐκ ἐθέλοντες τῆς μέθης ἐκείνοις T ‖ ἀκριβεῖ WA ἀκριβεῖς E ‖ ἅτε δὴ] ἀρετῇ QWA ‖ 8 δημιουργόν] θεόν X ‖ ἐκεῖνον + δὲ WAB ‖ 11 πλυνοὶ A ‖ 12-13 τὸ καινοπρεπὲς τοῦ σχήματος ∾ T ‖ 13 ἀπορρίψασαι ES ‖ 15 ἐθεώρουν] ἑώρων C ‖ συγκύπτουσαι X ‖ 16 οὔτε] οὐδὲ PVS ‖ τοῦτο + δὲ QG ‖ 17 τὴν τοῦ Θεοῦ ∾ D ‖ 18 καιρὸν] κόρον E ‖ εὐσεβείας V ‖ 20 δὲ + καὶ D ‖ 21 αὐτῶν om. E ‖ προώρῳ] ἀωρῷ E

ἐνηλλάττετο καὶ ἐῴκεσαν νεοφύτοις δένδρεσιν ἐν ἔαρι μετοπωρινὰ φύλλα περικειμένοις. Οὕτως αἰσθόμεναι τῆς τιμωρίας — τῆς τε γὰρ πηγῆς ἀπέδρα τὰ νάματα, καὶ τὰς ἀλλήλων θεώμεναι κεφαλὰς ἑώρων τὴν ἀθρόαν ἐκείνην μεταβολήν —, ἔδραμον εἰς τὴν πόλιν τὸ συμβὰν ἀπαγγελοῦσαι. Οἱ δὲ δραμόντες καὶ τὸν μέγαν καταλαβόντες Ἰάκωβον, ἱκέτευον χαλάσαι τὴν ὀργὴν καὶ λῦσαι τὴν τιμωρίαν. Ὁ δὲ μηδὲ βραχὺ μελλήσας, προσέφερε μὲν τῷ δεσπότῃ τὴν ἱκετείαν, ἐκέλευσε δὲ πάλιν ἀναβλύσαι τὰ νάματα · τὰ δὲ παραυτίκα πάλιν ἐκ τῶν οἰκείων ἀνεφαίνετο ταμιείων, τοῖς τοῦ δικαίου μετοχετευόμενα νεύμασιν. Οἱ δὲ
D τούτου τετυχηκότες, καὶ τοῖς πλοκάμοις τῶν θυγατέρων τὴν προτέραν ἠντιβόλουν χρόαν ἀποδοθῆναι. Τὸν δὲ εἶξαι μὲν καὶ τοῦτό φασιν, ἐπιζητῆσαι δὲ τὰς κόρας, τὰς τὴν παιδείαν ἐκείνην δεξαμένας καί, ἐπειδὴ οὐκ ἀφίκοντο, ἐᾶσαι τὴν τιμωρίαν, δίδαγμα σωφροσύνης καὶ εὐκοσμίας ὑπόθεσιν καὶ τῆς θείας δυνάμεως ὑπόμνημα διηνεκές τε καὶ ἐναργές.

**5.** Τοιοῦτον τοῦ νέου τούτου Μωϋσέως τὸ θαῦμα, οὐ πληγῇ ῥάβδου γενόμενον, ἀλλὰ τῷ τοῦ σταυροῦ σημείῳ

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

23 δένδρεσιν PCT : δένδροις vDqABES ‖ 27 μεταβολὴν+καὶ CAB ‖ ἔδραμον+οὖν V ‖ εἰς τὴν πόλιν CvqS : εἰς τὴν πόλην P ἐπὶ τὴν πόλιν D εἰς τὴν κώμην (-ο- E) ABe ‖ 27-28 ἀπαγγελοῦσαι correxi ἀπαγγέλουσαι PQWB ἀπαγγέλλουσαι CvDGAeS ‖ 29-30 τῆς τιμωρίας E ‖ 30 μηδὲ] μὴ E ‖ 31 ἱκεσίαν CWABS ‖ ἐκέλευε ABES ‖ 32 ἀνεφέρετο CW ἀνεφαίνοντο E ‖ 33 ταμείων CQGET ‖ νάμασιν WE ῥήμασιν A ‖ 34 τούτων XDGTS ‖ 35 ἀναδοθῆναι AB ‖ 36 τούτῳ A ‖ φησιν A ‖ 37 δεξαμένας ἐκείνην ∾ WAB ‖ 38 εἴασε E ‖ δεῖγμα WABe ‖ 39-40 ὑπόμνημα — ἐναργές (-ερ- C)] διηνεκὲς ὑπόμνημα ἐναργές D.

**5,** 1 τοιοῦτο A ‖ μωϋσέως A (ex μωυσῆ ut vid.) ES : μωσῆ PCvQG μωυσέος DT μωυσῆ W μωυσοῦ B ‖ 2 τὸ ... σημεῖον W

3. Les mots de cette phrase appartiennent presque tous à la prose,

δεξάμενον τὴν ἐνέργειαν. Ἐγὼ δὲ πρὸς τῇ θαυματουργίᾳ κομιδῇ θαυμάζω καὶ τὴν πρᾳότητα. Οὐδὲ γὰρ ὡς ὁ μέγας Ἐλισσαῖος[a] ἄρκοις ὠμοβόροις τὰς ἀναιδεῖς ἐκείνας παρέδωκε κόρας, ἀλλ' ἀβλαβεῖ τινι παιδείᾳ καὶ σμικρὰν ἀκοσμίαν 1297A ἐχούσῃ χρησάμενος, εὐσέβειαν ὁμοῦ καὶ εὐκοσμίαν ἐδίδαξεν. Καὶ ταῦτα ἔφην, οὐκ ἀπήνειαν τοῦ προφήτου κατηγορῶν — μὴ οὕτω μανείην —, ἀλλὰ δεικνὺς ὡς ἐκείνην ἔχων τὴν δύναμιν, τῇ τοῦ Χριστοῦ πρᾳότητι καὶ τῇ καινῇ διαθήκῃ ἐπετέλει τὰ πρόσφορα.

**6.** Οὗτος ἄλλοτέ ποτε δικαστὴν πέρσην ἀδίκῳ ψήφῳ χρησάμενον θεασάμενος, λίθῳ τινὶ μεγίστῳ παρακειμένῳ ἐπαρασάμενος, συντριβῆναι καὶ σκεδασθῆναι, καὶ τούτῳ διελέγξαι τὴν ἄδικον ἐκείνου παρηγγύησε ψῆφον. Παραυτίκα δὲ τοῦ λίθου εἰς μυρία μόρια μερισθέντος, ἐξεδειματώθησαν οἱ παρόντες · φρίκης δὲ ἀνάπλεως ὁ δικαστὴς γενόμενος, ἀνεκαλέσατο μὲν τὴν προτέραν, ἑτέραν δὲ δικαίαν ἐπήνεγκε ψῆφον. Κἀνταῦθα δὲ τὸν οἰκεῖον δεσπότην ἐζήλωσεν, ὃς δεῖξαι βουληθεὶς ὡς ἑκὼν ὑπομένει τὸ πάθος καὶ ῥᾳδίως ἂν ἐθελήσας τοὺς ἀλιτηρίους ἐκόλασεν, οὐκ αὐτοῖς ἐπήνεγκε B τιμωρίαν, ἀλλὰ τὴν ἄψυχον συκῆν λόγῳ ξηράνας[a], τὴν οἰκείαν ἔδειξε δύναμιν. Ταύτην καὶ αὐτὸς τὴν φιλανθρωπίαν

**5** a. Cf. IV Rois 2, 23-24
**6** a. Cf. Matth. 21, 18-22

---

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

5 ἄρκτοις PVQG ἄρτοις T || ὠμοβώροις C ὁμοβόροις X αἱμοβόροις DS || 6-7 ἀκοσμίαν ἐχούσῃ] ἐχούσῃ τὴν ἀκοσμίαν XS || 8 ταῦτα] ταῦ .. X || 9 ἐκείνην] ἐκει . . . X.

**6,** 1 οὗτος] οὕτως P om. CXT || 2 χρησάμενον] sex ultimae litt. l.n.p. X χρησαμένῳ E || θεασάμενος om. e || 3 ἐπαρασάμενος] ἐπετίμησε in rasura B || 5 τοῦ λίθου i.m. G[1] || ἐξεδειματώθησαν+μὲν W || 6 ἀνάπλεος P || δικασθεὶς D || 7 ἀνεκαλέσατο] ἀπεβάλετο in rasura B || ἐπήγαγεν CW || 8 ψῆφον i.m. W[1] || δὲ] om. PS μὲν C || 9 βουλόμενος PvQG || 10 ἐπήνεγκε+τὴν C || 11 ξηράνας] ἐξήρανε καὶ W || 12 ἐδίδαξε D

μιμούμενος, οὐ τὸν ἄδικον ἐκόλασε δικαστήν, ἀλλὰ τῇ τοῦ λίθου πληγῇ δικαιοσύνην ἐκεῖνον ἐδίδαξεν.

**7.** Ἐν τούτοις διαπρέπων καὶ πᾶσιν ἐπέραστος ὤν, καὶ ἐν ταῖς ἁπάντων περιφερόμενος γλώτταις, εἰς τὴν τῆς ἀρχιερωσύνης ἕλκεται λειτουργίαν καὶ τῆς πατρίδος λαγχάνει τὴν προστασίαν. Ἐναλλάξας δὲ τὴν ὄρειον ἐκείνην διατριβὴν καὶ τὴν ἐν ἄστει διαγωγὴν οὐ κατὰ γνώμην ἑλόμενος, οὔτε τὴν τροφὴν οὔτε τὴν ἀμπεχόνην ἐνήλλαξεν· ἀλλὰ τὰ μὲν χωρία ἠμείβετο, ἡ δὲ πολιτεία μεταβολὴν οὐκ ἐδέχετο. Οἱ δὲ πόνοι προσθήκην ἐλάμβανον καὶ πολλαπλάσιοι τῶν
C προτέρων ἐγίνοντο· τῇ γὰρ ἀπαστίᾳ καὶ χαμευνίᾳ καὶ τῇ τοῦ σάκκου περιβολῇ ἐπεισῆεσαν αἱ δι' ὅλου τῶν δεομένων φροντίδες· χηρῶν, φημι, ἐπιμέλειαι καὶ ὀρφανῶν κηδεμονίαι καὶ τῶν τε ἀδικούντων οἱ ἔλεγχοι τῶν τε ἀδικουμένων ἡ δικαία ἐπικουρία. Καὶ τί δεῖ πρὸς εἰδότας ἅπαντα καταλέγειν, ἃ τοὺς ταύτην ἀναδεδεγμένους περιστοιχίζει τὴν

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

14 ἐκεῖνον] αὐτὸν S.

**7,** 2 γλώσσαις PCvQGAS ‖ 3 ἕλκεται] ἔρχεται AS ‖ λαμβάνει D ‖ 5 ἄστυ D ‖ οὐ om. D ‖ 6 τροφὴν + τὴν αὐτοῦ X + αὐτοῦ T ‖ 8 ἐλάμβανον] ἐδέχοντο PCvQG ‖ πολλαπλάσιοι] πολλῷ πλέον C πολλαπλάσιον D ‖ 9 ἐγένοντο XS ‖ τῇ om. E ‖ ἀπαστίᾳ E : νηστείᾳ PCvDqABTS ‖ 10 αἱ δι' ὅλου τῶν CvQGTS : αἱ τῶν δι' ὅλου PAB αἱ τῶν D αἱ τῶν δι' ὅλου W αἱ τῶν ὁτουοῦν E ‖ 11 ἐπιμελεία CD ‖ κηδαιμονίαι PV κηδαιμονία CD ‖ 12 τε[1]] τότε C om. DWAES ‖ ἀδικούντων om. D ‖ οἱ] δι' P ‖ οἱ ἔλεγχοι om. D οἱ ἔλεγχον W ‖ τε[2]] δὲ PTS om. D ‖ 13 δεῖ] δὴ Ce ‖ 13-14 καταλέγεσθαι S

---

§ 6 1. La fonction judiciaire n'est pas sans rapport avec celle du guérisseur, comme dans le cas de Macédonios (XIII, 11) ; cf. *MST* § 81.

§ 7 1. Au lieu du titre usuel, Théodoret préfère employer une périphrase pour désigner l'épiscopat ; λειτουργία a le sens dérivé de sa signification originale de service public à caractère sacré ;

πρόνοιαν; Διαφερόντως δὲ ἐκεῖνος τοὺς τοιούτους πόνους ἠσπάζετο, ἅτε δὴ διαφερόντως καὶ ποθῶν καὶ δεδιὼς τῶν προβάτων τὸν κύριον.

**8.** Ὅσῳ δὲ πλείονα τῆς ἀρετῆς τὸν πλοῦτον συνέλεγε, τοσούτῳ μείζονος καὶ τῆς τοῦ παναγίου πνεύματος ἀπέλαυε χάριτος. Καὶ δήποτε εἴς τινα κώμην αὐτῷ ἢ πόλιν ἀπαίροντι — οὐ γὰρ ἔχω λέγειν ἀκριβῶς τὸ χωρίον — προσίασί τινες D πένητες, ἕνα τινὰ τῶν συνόντων ὡς τεθνεῶτα προτεθηκότες καί τινα πρὸς τὴν ἐκείνου ταφὴν ἐπιτήδεια λαβεῖν ἱκετεύοντες. Ὁ δὲ εἶξεν ἀντιβολοῦσιν · τῷ θεῷ δὲ ὡς ὑπὲρ τεθνεῶτος τὴν ἱκετείαν προσέφερεν, ἀφεῖναί οἱ παρακαλῶν τὰ κατὰ τὸν βίον πλημμεληθέντα καὶ τοῦ τῶν δικαίων ἀξιῶσαι χοροῦ. Τούτων δὲ λεγομένων, ἀφίπτατο τοῦ τέως σκηπτομένου τὸν θάνατον ἡ ψυχή. Ἐχορηγεῖτο δὲ τῷ σώματι τὰ καλύμματα · ὡς δὲ μικρὸν προῆλθεν ὁ θεσπέσιος ἄνθρωπος, ἀναστῆναι τὸν κείμενον ἐκέλευον οἱ τὸ δρᾶμα συντεθηκότες · ὡς δὲ ἑώρων οὐκ ἐπαΐοντα, ἀλλ' ἀλήθειαν τὸ σχῆμα γεγενημένον καὶ εἰς πρόσωπον τὸ προσωπεῖον μεταβληθέν, καταλαμβάνουσι μὲν τὸν μέγαν Ἰάκωβον, ποτνιώμενοι δέ, καὶ τῶν ποδῶν προκαλινδούμενοι, καὶ τοῦ τολμηθέντος δράματος 1300A αἰτίαν εἶναι λέγοντες τὴν πενίαν, ἱκέτευον λῦσαι σφίσιν αὐτοῖς τὴν πλημμέλειαν καὶ ἀποδοῦναι τῷ κειμένῳ τὴν ἀφαιρεθεῖσαν ψυχήν. Τὴν δεσποτικὴν τοίνυν φιλανθρωπίαν μιμούμενος, καὶ τὴν ἱκετείαν ἐδέξατο, καὶ τὴν θαυματουργίαν

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

15 τοιούτους] τοιούσδε DWAB ‖ 16 δὴ om. E ‖ 16-17 τὸν τῶν προβάτων ∾ PCvQGS.

**8,** 1 τὸν τῆς ἀρετῆς ∾ W ‖ 2 τοσοῦτο C ‖ μειζόνως CDWAES ‖ 3 αὐτῷ] om. C αὐτοῦ D ‖ 5 προτεθηκότες (-θει- PvQGABeS)] προστεθηκότες C ‖ 6 καὶ — ἱκετεύοντες om. E ‖ τινα] τὰ DWAB ‖ 7 εἶξεν] εἶξε μὲν VQG ‖ δὲ θεῷ ∾ D ‖ 8 ἱκετείαν CVQGAe : ἱκετίαν P ἱκετηρίαν X ἱκεσίαν DWBS ‖ ἀφεῖναί οἱ VQG : ἀφῆναι PC ἀφεῖναι XABS ἀφιέναι DW ἀφῆναι οἱ E ἀφῆναίοι T ‖ 10 δὲ om. PCVDqABTS ‖ 12 θεσπέσιος] θαυμάσιος QG ‖ 13 ἐκέλευον — συντεθηκότες CD (-θει- PvqBT) PCvDqBT : οἱ τὸ δρᾶμα τοῦτο συντεθεικότες ἐκέλευον A ἐκέλευον οἱ τὸ δρᾶμα τοῦτο συντεθεικότες

ἐπεδείξατο, τὴν ὑπὸ τῆς εὐχῆς ἀφαιρεθεῖσαν ζωὴν διὰ τῆς εὐχῆς ἀποδοὺς τῷ κειμένῳ.

**9.** Τοῦτο δὲ ἔμοιγε δοκεῖ τῇ τοῦ μεγάλου Πέτρου ἐοικέναι θαυματουργίᾳ, ὃς τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν[a] κεκλοφότας καὶ ψευσαμένους θανάτῳ παρέπεμψεν. Καὶ γὰρ οὗτος ὡσαύτως τὸν τὴν ἀλήθειαν κεκλοφότα, καὶ τῷ ψεύδει χρησάμενον ἀφείλετο τὴν ζωήν. Ἀλλ' ὁ μὲν γνοὺς τὴν κλοπήν — ἀπεκάλυψε γὰρ ἡ τοῦ πνεύματος χάρις — τὴν δίκην ἐπήγαγεν · ὁ δὲ τοῦ δράματος ἀγνοῶν τὴν ὑπόθεσιν, προσήνεγκε μὲν τὴν εὐχήν, ἔστησε δὲ τῷ πλασαμένῳ [B] τοῦ βίου τὸν δρόμον. Καὶ ὁ μὲν θεῖος ἀπόστολος οὐκ ἔλυσε τοῖς τεθνηκόσι τὴν συμφοράν · δέους γὰρ ἔχρῃζε τοῦ σωτηρίου κηρύγματος τὰ προοίμια · ὁ δὲ τῆς ἀποστολικῆς ὑπάρχων ἀνάπλεως χάριτος καὶ ἐκόλασεν εἰς καιρὸν καὶ ἔλυσε ταχέως τὴν κόλασιν · τούτῳ γὰρ ᾔδει κερδανοῦντας τοὺς πταίσαντας. Ἀλλὰ γὰρ καὶ ἐπὶ τὰ ἄλλα ἰτέον καὶ συντόμως κἀκεῖνα ἐξηγητέον.

**10.** Ἐπειδὴ γὰρ Ἄρειος, ὁ τῆς κατὰ τοῦ μονογενοῦς καὶ τοῦ παναγίου πνεύματος βλασφημίας πατὴρ καὶ δημιουργός, κατὰ τοῦ πεποιηκότος τὴν γλῶτταν κεκινηκώς, ἐνέπλησε τὴν Αἴγυπτον θορύβου καὶ ταραχῆς, Κωνσταντῖνος δὲ ὁ μέγιστος βασιλεύς, ὁ τῆς ἡμετέρας ἀγέλης Ζοροβάβελ

**9** a. Cf. Act. 5, 1-11

---

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

22 ἐπεδείξατο+καὶ A ‖ ὑπὸ] ὑπὲρ V ‖ εὐχῆς+ἀπὸ τῆς ψυχῆς AB 23 ἀποδοῦναι QG ἀπέδωκε A.

**9,** 1 ἐμοὶ e ‖ 2 τὴν om. PX ‖ σαπφῆραν C σαμφεῖραν D ‖ 3 παρέπεμπε WA ‖ 4 οὗτος om. GS ‖ τὸν om. S ‖ τὸν ... κεκλοφότα (-φῶ-Ce) PCvDABe : τοῦ ... κεκλοφότος q ‖ τὴν om. D ‖ 5 χρησαμένου q ‖ πεπλασμένῳ S ‖ 13-14 τούτῳ — πταίσαντας om. X ‖ 13 τούτῳ VBES : τούτου PC τοῦτο DqAT ‖ ᾔδει WABS : ἔδει PCVDQG εἴδει e ‖ κερδανοῦντας DWe : κερδανοῦντος PCV τοῦ κερδανοῦντος QG κερδανεῖν AS κερδανόντας B ‖ 14 πταίοντας e ‖ τἄλλα CX.

**10,** 1 ἐπειδὴ γὰρ om. W ‖ κατὰ τῆς ∾ CD ‖ 2 καὶ[1]+τῆς D ‖ ἁγίου We ‖ καὶ[2] om. D ‖ 3 γλῶσσαν PCVQG ‖ 5 ζωροβάβελ e